σθήσονταί σου αἱ οἰκίαι καὶ αἱ οἰκίαι τῶν θεραπόντων σου καὶ
πᾶσαι αἱ οἰκίαι ἐν πάσῃ γῇ τῶν Αἰγυπτίων, ἃ οὐδέποτε ἑωράκα-
σιν οἱ πατέρες σου οὐδὲ οἱ πρόπαπποι αὐτῶν ἀφ᾽ ἧς ἡμέρας γε-
γόνασιν ἐπὶ τῆς γῆς ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκκλίνας Μωυ-
7 σῆς ἐξῆλθεν ἀπὸ Φαραω. [7]καὶ λέγουσιν οἱ θεράποντες Φαραω πρὸς
αὐτόν Ἕως τίνος ἔσται τοῦτο ἡμῖν σκῶλον; ἐξαπόστειλον τοὺς
ἀνθρώπους, ὅπως λατρεύσωσιν τῷ θεῷ αὐτῶν· ἢ εἰδέναι βούλει
8 ὅτι ἀπόλωλεν Αἴγυπτος; [8]καὶ ἀπέστρεψαν τόν τε Μωυσῆν καὶ
Ααρων πρὸς Φαραω, καὶ εἶπεν αὐτοῖς Πορεύεσθε καὶ λατρεύσατε
9 τῷ θεῷ ὑμῶν· τίνες δὲ καὶ τίνες εἰσὶν οἱ πορευόμενοι; [9]καὶ λέ-
γει Μωυσῆς Σὺν τοῖς νεανίσκοις καὶ πρεσβυτέροις πορευσόμεθα,
σὺν τοῖς υἱοῖς καὶ θυγατράσιν καὶ προβάτοις καὶ βουσὶν ἡμῶν·
10 ἔστιν γὰρ ἑορτὴ κυρίου τοῦ θεοῦ ἡμῶν. [10]καὶ εἶπεν πρὸς αὐτούς
Ἔστω οὕτως, κύριος μεθ᾽ ὑμῶν· καθότι ἀποστέλλω ὑμᾶς, μὴ καὶ
11 τὴν ἀποσκευὴν ὑμῶν; ἴδετε ὅτι πονηρία πρόκειται ὑμῖν. [11]μὴ οὕ-
τως· πορευέσθωσαν δὲ οἱ ἄνδρες, καὶ λατρεύσατε τῷ θεῷ· τοῦτο
γὰρ αὐτοὶ ζητεῖτε. ἐξέβαλον δὲ αὐτοὺς ἀπὸ προσώπου Φαραω. —
12 [12]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρα ἐπὶ γῆν Αἰ-
γύπτου, καὶ ἀναβήτω ἀκρὶς ἐπὶ τὴν γῆν καὶ κατέδεται πᾶσαν βο-
τάνην τῆς γῆς καὶ πάντα τὸν καρπὸν τῶν ξύλων, ὃν ὑπελίπετο
13 ἡ χάλαζα. [13]καὶ ἐπῆρεν Μωυσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανόν,
καὶ κύριος ἐπήγαγεν ἄνεμον νότον ἐπὶ τὴν γῆν ὅλην τὴν ἡμέραν
ἐκείνην καὶ ὅλην τὴν νύκτα· τὸ πρωὶ ἐγενήθη, καὶ ὁ ἄνεμος ὁ
14 νότος ἀνέλαβεν τὴν ἀκρίδα [14]καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν γῆν
Αἰγύπτου, καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια Αἰγύπτου πολλὴ
σφόδρα· προτέρα αὐτῆς οὐ γέγονεν τοιαύτη ἀκρὶς καὶ μετὰ ταῦτα
15 οὐκ ἔσται οὕτως. [15]καὶ ἐκάλυψεν τὴν ὄψιν τῆς γῆς, καὶ ἐφθάρη
ἡ γῆ· καὶ κατέφαγεν πᾶσαν βοτάνην τῆς γῆς καὶ πάντα τὸν καρ-
πὸν τῶν ξύλων, ὃς ὑπελείφθη ἀπὸ τῆς χαλάζης· οὐχ ὑπελείφθη
χλωρὸν οὐδὲν ἐν τοῖς ξύλοις καὶ ἐν πάσῃ βοτάνῃ τοῦ πεδίου ἐν
16 πάσῃ γῇ Αἰγύπτου. [16]κατέσπευδεν δὲ Φαραω καλέσαι Μωυσῆν
καὶ Ααρων λέγων Ἡμάρτηκα ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν καὶ
17 εἰς ὑμᾶς· [17]προσδέξασθε οὖν μου τὴν ἁμαρτίαν ἔτι νῦν καὶ προσ-
εύξασθε πρὸς κύριον τὸν θεὸν ὑμῶν, καὶ περιελέτω ἀπ᾽ ἐμοῦ τὸν
18 θάνατον τοῦτον. [18]ἐξῆλθεν δὲ Μωυσῆς ἀπὸ Φαραω καὶ ηὔξατο

6 των αιγ.] αιγυπτου A | α] ο A | μωυσης > A || 7 και λεγ.] λεγ. δε A | τουτο ημιν] υμιν A*, υμιν τουτο A$^c$ | τω] pr. κυριω A: item in 8 || 8 επεστρεψαν A | αυτοις] + φαραω A† | και 4$^0$ > A || 9 και λεγει] λεγ. δε A† | νεαν.] + ημων A | πρεσβυτεροις] τοις πρεσβυταις A | του θεου ημων] > B*†, in *O* sub ÷ || 10 ειπεν] + φαραω A$^r$† | προσκειται B || 11 δε 1$^0$ > A† | λατρευσατωσαν B*† | θεω] κυριω A | εζητειτε B || 12 χειρα] + σου A | ον] α A || 13 κυριος > B*† | ανεμον > A† || 14 μετα ταυτα] μετ αυτην A || 15 ουχ υπελ.] ου κατελειφθη A | του > B† || 16 του > B*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/154 UNIVERSITÄT LEIPZIG